www.tezaurliturgic.ro

# ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ

# ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΠΑΝΑΡΕΤΟΝ

# ΕΠΙΣΚΟΠΟΝ ΠΑΦΟΥ[43]

## Ποιήμα Χαραλάμπους Μπούσια

**Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.**

Τῆς ἀρετῆς καὶ προοράσεως τὸ ἔσοπτρον, τὸν ἱεράρχην τὸν θεόπνουν Πάφου μέλψωμεν, στηλογράφημα ὡς ἔμπνουν τοῦ Παρακλήτου· νήσου Κύπρου τὸν φωστῆρα τὸν φανότατον, καὶ θαυμάτων κρήνην στέψωμεν ἐν ᾄσμασι, πόθῳ κράζοντες· Χαίροις, μάκαρ Πανάρετε.

Ἄριστος ποιμενάρχης, καὶ διάκοσμος Πάφου, ἐνάρετε Πανάρετε ὤφθης· (τρὶς) πρὸς σαυτὸν γὰρ ἑλκύσας σαφῶς, ἀρετὰς παντοίας θεϊκῆς χάριτος, ἐγένου σκεῦος τίμιον· διό σοι μυστικῶς βοῶμεν·

Χαῖρε, κρατὴρ θεϊκῆς ἀγάπης·
χαῖρε, πρηστὴρ τῆς ἐχθροῦ ἀπάτης.
Χαῖρε, τῶν ὁσίων τῶν πάλαι ὁμότροπος·
χαῖρε, ἀσκουμένων ἁγίων ἐφάμιλλος.
Χαῖρε, Κύπρου δένδρον ἔγκαρπον ἀρετῶν ἀσκητικῶν·
χαῖρε, Πάφου ὄμμα ἄγρυπνον εὐσεβοῦνταε ἐφορῶν.
Χαῖρε, ὅτι πρὸς ὕψος ὁσιότητος ἤρθης·
χαῖρε, ὅτι τῶν θείων χαρισμάτων ἐπλήσθης.
Χαῖρε, κανὼν νηστείας καὶ νήψεως·
χαῖρε, λειμὼν ἐνθέου φρονήσεως.
Χαῖρε, ἑκὼν δεδεμένος ἁλύσει·
χαῖρε, ψυχῶν θεραπεύων τὰ πάθη.

---

[43] ΣΥΛΛΟΓΙΚΟ, *Ὑμνολόγιον τὸ χαρμόσυνον*, ἐκδ. Ἱ.Β.Μ. Σταυροβουνίου, Κύπρος 1996.

**Χαίροις, μάκαρ Πανάρετε.**

Βάθρον χρηστοηθείας, ἀδιάσειστον μάκαρ, Πανάρετε ὡς κλῖμαξ σοφίας, ὁδηγεῖς πρὸς νομὰς θεϊκάς, καὶ τερπνοὺς λειμῶνας ἀρετῶν ἅπαντας, τοὺς θέλοντας μιμήσασθαι, σοὺς πόνους καὶ βοῶντας πόθῳ˙

**Ἀλληλούϊα.**

Γνώμονα ἐγκρατείας, καὶ πυξίδα νηστείας, Πανάρετε σὲ ἔγνωμεν πάντες˙ σὺ γὰρ φεύγων τοῦ βίου τρυφάς, καὶ στρωμνὴν οὐκ ἔχων πρὸς σαρκὸς ὅσιε, ἀνάπαυσιν ὡς ἄσαρκος ἐβίους˙ ὅθεν σοι βοῶμεν˙

Χαῖρε, τὸ κλέος τῶν ἐπισκόπων˙
χαῖρε, ὁ στῦλος τῶν κλονουμένων.
Χαῖρε, Ἐκκλησίας Χριστοῦ τὸ ὡραΐσμα˙
χαῖρε, ποιμασίας τὸ ἔμψυχον σέμνωμα.
Χαῖρε, βάσις νεοστήρικτος τοῦ θεόφρονος λαοῦ˙
χαῖρε, λάμψις ἀστραπόμορφος τοῦ ποιμνίου τοῦ Χριστοῦ.
Χαῖρε,ὅτι ἐν Πάφῳ ἠγωνίσω ὁσίως˙
χαῖρε, ὅτι ἐν πόνοις διαπρέπεις ἀνδρείως.
Χαῖρε, παθῶν σκεδάσας σκοτόμαιναν˙
χαῖρε, ψυχῶν ὁ ἄρδων τὴν ἄρουραν.
Χαῖρε, εἰκὼν καθαρὰ εὐψυχίας˙
χαῖρε, φυτὸν μυστικῆς εὐθαλείας.

**Χαίροις, μάκαρ Πανάρετε.**

Δένδρον καθάπερ θεῖον, ἐφυτεύθης ἐν Πάφῳ, Πανάρετε ὑπὸ τοῦ πανσόφου, φυτουργοῦ καὶ Σωτῆρος Θεοῦ, ἵνα πλῆθος ἅπαν τὸ καρποὺς λόγων σου, γευόμενον καὶ πράξεων, φωσφόρων σου κραυγάζῃ πίστει˙

**Ἀλληλούϊα.**

Ἔλαμψας ἐν τῷ κόσμῳ, ταπεινώσεως φέγγει, καὶ βίου ἀκραιφνοῦς σου βολῖσιν, ἱεράρχα Χριστοῦ εὐκλεές˙ ἀγνωσίας ὅθεν ζοφερᾶς ἔλυσας, σκοτίαν συνήγαγες, σὴν ποίμνην ἀνακράζειν οὕτω˙

Χαῖρε, βολὶς τοῦ Εὐαγγελίου˙
χαῖρε, παγὶς τοῦ ἐχθροῦ τοῦ πλάνου.
Χαῖρε, ποιμασίας φωστὴρ παμφαέστατος˙
χαῖρε, εὐσεβείας ἀστὴρ φαεινότατος.
Χαῖρε, ἔνθεον κειμήλιον ἀγωγῆς ἀσκητικῆς˙
χαῖρε, ἥδιστον ὀσφράδιον πανασπίλου βιοτῆς.
Χαῖρε, ἱερωσύνης ἀμπεχόμενος χλαῖναν˙
χαῖρε, ὁ σωφροσύνης φέρων πάγχρυσον στέμμα.
Χαῖρε, πηγὴ χαρίτων ἀείροος˙
χαῖρε, ταχὺ ὁ σῴζων ἐκ θλίψεως.
Χαῖρε, Κυπρίων θεόφρον προΐστορ˙
χαῖρε, ἁπάντων ἐν λύπαις ἀκέστορ.

**Χαίροις, μάκαρ Πανάρετε.**

Ζήλῳ θεοσεβείας, πυρωθεὶς τῇ καρδίᾳ, ἐθέρμανας τοὺς σοὶ προσιόντας, καὶ τῇ αἴγλῃ τὸν νοῦν ἐλλαμφθείς, τοῦ Ἁγίου πάτερ ἱερὲ Πνεύματος, Πανάρετε θεόπνευστος, ἐδείχθης ποιμενάρχης κράζων.

**Ἀλληλούϊα.**

Ἤνυσας θεαρέστως, σοῦ τὴν βρότειον τρίβον, μιμούμενος τοὺς τρόπους τοῦ βίου, τῶν ἀρχαίων πατέρων˙ διό, καὶ ψυχῆς τῆς σῆς ἐπιμελῶς ἔκρυπτες, τὸ κάλλος ὦ Πανάρετε, ἐκ πάντων τῶν πιστῶς βοώντων˙

Χαῖρε, τὸ ὄμμα τῶν ἀομμάτων˙
χαῖρε, τὸ μάννα τῶν πενομένων.

Χαῖρε, διοράσεως ἔμψυχον ἄγαλμα˙
χαῖρε, ἐγρηγόρσεως τίμιον σέμνωμα.
Χαῖρε, βάθρον ἀῤῥαγέστατον ἐγκρατείας ἀληθοῦς˙
χαῖρε, σῶφρον Πάφου πρόεδρε, ὕψος βίου νουνεχοῦς.
Χαῖρε, ὅτι ἐννόμως τὸν ἀγῶνα ἀνύεις˙
χαῖρε, ὅτι πανσόφως τοὺς Κυπρίους ποιμαίνεις.
Χαῖρε, γερῶν ἐν πόλῳ συμμέτοχος˙
χαῖρε, χορῶν δικαίων συνόμιλος.
Χαῖρε, ὁ ἔννους τῆς Πάφου κοσμήτωρ˙
χαῖρε, ὁ θεῖος πιστῶν ἀντιλήπτωρ.

**Χαίροις, μάκαρ Πανάρετε.**

Θείου ἔρωτος πάτερ, ἐν καρδίᾳ ἀνάψας, τὸ ἄϋλον τὸ πῦρ τῇ ἁγνῇ σου, ὡς λαμπὰς θεαυγὴς ἀρετῶν, ἐπεγνώσθης πᾶσι καὶ πιστοὺς εἵλκυσας, πρὸς μίμησιν τοῦ βίου σου, καὶ θεῖον φωτισμὸν βοῶντας˙

**Ἀλληλούϊα.**

Ἴασμε μυροβόλε, ταπεινώσεως ἄκρας, ἁλύσει σεαυτὸν δεδεμένον, ἄχρι τέλους τῆς σῆς βιοτῆς, καταστέλλων ἅπαν χοϊκὸν ὅρμημα, ἐφύλαττες Πανάρετε˙ διὸ σοι φωνασκοῦμεν ταῦτα˙

Χαῖρε, ὁ ὅσιος ἐν ὁσίοις˙
χαῖρε, ὁ ἅγιος ἐν ἁγίοις.
Χαῖρε, ὁ τὸν χοῦν ὑποτάξας τῷ πνεύματι˙
χαῖρε, ὁ τὸν νοῦν ἐκκαθάρας ἀσκήσεσι.
Χαῖρε, κῆρυξ διαπρύσιε ταπεινόφρονος ζωῆς˙
χαῖρε, ὅρπηξ ἐνθεώτατε πανοσίας βιοτῆς.
Χαῖρε, οἰακοστρόφε τῆς ὁλκάδος τῆς Πάφου˙
χαῖρε, πνευματοφόρε ἱεράρχα Κυρίου.
Χαῖρε, λιμὴν ἁπλότητος ἄκλυστε˙
χαῖρε, ποιμὴν προβάτων θειότατε.
Χαῖρε, ὁ λάμψας ὑστέροις ἐν χρόνοις˙

χαῖρε, ὁ σώσας κειμένους ἐν σκότει.

**Χαίροις, μάκαρ Πανάρετε.**

Κλέος ἀρχιερέων, προϊδὼν σου τὸ τέλος, διώρυξας ἰδίαις χερσί σου, τὸν σὸν τάφον καὶ πᾶσι τὴν σήν, ἐκδημίαν πάτερ πρὸς Θεὸν πάναγνε, ἐγνώρισας καὶ ἔπιθες, αὐτοὺς πανευλαβῶς κραυγάζειν˙

**Ἀλληλούϊα.**

Λάκκου ἐξ ἁμαρτίας, καὶ ὠδίνων θανάτου, παρήκοόν ποτε ἱερέα, συμπαθείᾳ Πανάρετε σῇ, πρὸ τοῦ τέλους πάτερ ἱερὲ ἤγείρας, καὶ σῇ δοθείσῃ χάριτι˙ διὸ σοι εὐθαρσῶς φωνοῦμεν˙

Χαῖρε, ὁ ἔνδοξος ἱεράρχης˙
χαῖρε, ὁ ἄγρυπνος ποιμενάρχης.
Χαῖρε, κυβερνῆτα ψυχῶν πρὸς μετάνοιαν˙
χαῖρε, ποδηγέτα λαοῦ πρὸς εὐσέβειαν.
Χαῖρε, φύλαξ ἱερώτατε τῶν δογμάτων τῶν ὀρθῶν˙
χαῖρε, πῖδαξ ὡραιότατε ἀρετῶν ἀσκητικῶν.
Χαῖρε, τὸν ἱερέα ὁ ποτὲ συγχωρήσας˙
χαῖρε, ὁ τὰ ἡδέα τῆς ζωῆς ἀψηφήσας.
Χαῖρε, βροτέ, ὁ ζῶν ἀφθαρτότητα˙
χαῖρε, πυρσέ, φωτίζων τὰ σύμπαντα.
Χαῖρε, ἁπλοῦς ὁ τοῖς τρόποις ὑπᾶρχων˙
χαῖρε, χρυσοῦς τοὺς στεφάνους ὁ φέρων˙

**Χαίροις, μάκαρ Πανάρετε.**

Μνήμην σου τὴν ἁγίαν, συντηρεῖ εἰς αἰῶνας, Καρπάθου ὁ σεμνὸς ποιμενάρχης, ὁ αὐτόπτης δειχθεὶς τῆς σεπτῆς, μεταστάσεώς σου, ἀρετῶν, ὅσιε, ἐπώνυμε καὶ βίον σου, γνωρίσας πᾶσιν ὕμνοις κράζων˙

**Ἀλληλούϊα.**

Νέος ὄλβος ἐδόθης, τῇ Χριστοῦ Ἐκκλησίᾳ, Πανάρετε θεράπον Κυρίου˙ ἡ ἐν σοὶ γὰρ οἰκοῦσα σαφῶς, ἀρετὴ ἐργάτην σε πιστὸν ἔδειξε, τῆς πίστεως καὶ σέμνωμα˙ διό σοι εὐλαβῶς βοῶμεν˙

Χαῖρε, λαμπρὰ σωτηρίας πύλη˙
χαῖρε, φαιδρὰ σωφροσύνης στήλη.
Χαῖρε, εὐσεβείας ἀρίδηλον γνώρισμα˙
χαῖρε, ἀριστείας ὑπέρφωτον ἔνδειγμα.
Χαῖρε, πίστεως θησαύρισμα καὶ εὐχῆς ὑπογραμμέ˙
χαῖρε, νήψεως ἀπαύγασμα καὶ νηστείας φρυκτωρέ.
Χαῖρε, ὅτι ἀγγέλων ταῖς χορείαις συνήφθης˙
χαῖρε, ὅτι διαμόνων τοὺς ἑσμοὺς διαλύεις.
Χαῖρε, δι᾽οὗ ᾐσχύνθης διάβολος˙
χαῖρε, δι᾽οὗ ἐτρώθη μισόκαλος.
Χαῖρε, κρατὴρ τῶν θελόντων σωθῆναι˙
χαῖρε, σωτὴρ τῶν βοώντων ἐν πίστει.

**Χαίροις, μάκαρ Πανάρετε.**

Ξένων ὄντως θαυμάτων, αὐτουργὸς ἀνεδείχθης, Πανάρετε ἐπόπτα τῆς Πάφου˙ τῆς Καρπάθου γὰρ σὺ προϊδών, τοῦ σεπτοῦ ποιμένος τὴν πρὸς ἔλευσιν, ἐξέπληξας καὶ ἔπιθες πιστοὺς πανευλαβῶς κραυγάζειν˙

**Ἀλληλούϊα.**

Ὄμβροις πάτερ ἱδρώτων, σῶν ἀφθόνων καὶ θείων, ἐπίανας ψυχὰς τοῦ λαοῦ σου, καὶ βλαστῆσαι αὐτὰς ἀληθῶς, σωτηρίας ἄνθη καὶ καρποὺς ὅσιε, ἠξίωσας Πανάρετε, τοῦ ὕμνοις σοι βοῶντος ταῦτα˙

Χαῖρε, ἀνθρώπων ἡ προστασία˙
χαῖρε, ἀνόμων ἡ σωτηρία.

Χαῖρε, εὐλογία βροτῶν καὶ βοήθεια˙
χαῖρε, θυμηδία πιστῶν καὶ ἀγλάϊσμα.
Χαῖρε, ἄγαλμα σεμνότητος καὶ ἀγάπης κορυφή˙
χαῖρε, σύντριμμα τοῦ δαίμονος τοῦ παγκάκου καὶ φυγή.
Χαῖρε, ὅτι δροσίζεις σὺ τὰς χέρσους καρδίας˙
χαῖρε, ὅτι ποτίζεις τὰς ἀνίκμους ἀρούρας.
Χαῖρε, στεῤῥὸν τῆς πίστεως ἔρεισμα˙
χαῖρε, λαμπρὸν τῆς χάριτος γνώρισμα.
Χαῖρε, λιμὴν τῶν ἐν θλίψεσιν ὄντων˙
χαῖρε, πυθμὴν ἀρετῶν παναρίστων.

**Χαίροις, μάκαρ Πανάρετε.**

Πνεύματι πάτερ θείῳ, ἐμφορούμενος ὥραν, προεῖδες τοῦ γηΐνου σου τέλους˙ διὸ τάφον τὸν σὸν εὐλαβῶς, διορύσσων θείαις σου χερσὶν ᾄσματα, ἀνέπεμπες πρὸς Κύριον, μελίῤῥυτα βοῶν ἀπαύστως˙

**Ἀλληλούϊα.**

Ῥήμασιν εὐσεβείας, τὴν λαχοῦσάν σοι ποίμνην, διέθρεψας καὶ γάλακτι ἄρνας, σῷ γνησίῳ ποτίσας σοφέ, λογικοὺς τῆς Πάφου πρὸς νομὰς ἴθυνας, ἀφθάρτου ὡραιότητος˙ διό σοι φωνασκοῦμεν ταῦτα˙

Χαῖρε, τὸ ἴον ἀρχιερέων˙
χαῖρε, ὁσίων κρηπὶς ποιμένων.
Χαῖρε, ἐπὶ γῆς ὁ οὐκ ἔχων πολίτευμα˙
χαῖρε, ἀρετῆς ὁ ὑπάρχων ἀμάρυγμα.
Χαῖρε, μέλλουσαν φωτόλαμπρον πολιτείαν ὁ ζητῶν˙
χαῖρε, φαίνουσαν τοῖς πέρασι βιοτὴν ἀκολουθῶν.
Χαῖρε, ὅτι σὴν σάρκα κατεπόνεις ἀλύσει˙
χαῖρε, ὅτι σὸν πνεῦμα ἀνεπτέρους ἀσκήσει.
Χαῖρε, λαοῦ ἀκέστωρ καὶ πρόμαχος˙
χαῖρε, Χριστοῦ θεράπων πανόσιος.
Χαῖρε, εἰκὼν τῆς Χριστοῦ παρουσίας˙
χαῖρε, λειμὼν μυστικῆς εὐωδίας.

**Χαίροις, μάκαρ Πανάρετε.**

Στόματι Παρθενίου, τοῦ Καρπάθου ποιμένος, τοῦ γνόντος σου βουλήματι θείῳ, πολιτείαν τὴν ἄγαν λαμπράν, ἐγνωρίσθης πᾶσιν ἀσκητὰ ἅγιε, ἐπίσκοπε Πανάρετε, καὶ ἤγειρας πιστοὺς κραυγάζειν˙

**Ἀλληλούϊα.**

Τρέμων, θρηνῶν, στενάζων, καὶ δεινῶς ὀλολύζων, παράλυτος πτωχὸς πρὸ λειψάνου, σοῦ τιμίου διὰ τὴν σεπτήν, κοίμησίν σου γηγενῶν ἔρεισμα, αὐτὸ δὲ ἀσπαζόμενος, ἰάθη καὶ τρανῶς ἐβόα˙

Χαῖρε, θαυμάτων ἀείρους βρύσις˙
χαῖρε, δογμάτων τῶν θείων βάσις.
Χαῖρε, παρειμένων ταχεῖα ἀνόρθωσις˙
χαῖρε, θλιβομένων γλυκεῖα ἀνάψυξις.
Χαῖρε, ὕψος ταπεινώσεως καὶ πραότητος κανών˙
χαῖρε, βάθος καρτερότητος καὶ ἀσκήσεως εἰκών.
Χαῖρε, ὅτι ἐν μέσῳ ἀκανθῶν ὤφθης ῥόδον˙
χαῖρε, ὅτι ἀσμένως ἐκδιώκεις τὸν πόνον.
Χαῖρε, Χριστοῦ ὁ φίλος ὁ γνήσιος˙
χαῖρε, λαοῦ ποιμὴν ὁ θεόσοφος.
Χαῖρε, προστάτης πιστῶν θεοφόρος˙
χαῖρε, ἐπόπτης τῆς Πάφου φωσφόρος.

**Χαίροις, μάκαρ Πανάρετε.**

Ὕπερθεν σοῦ τῆς Πάφου, τὴν σεπτὴν κληρουχίαν, συντήρει ἀσινῆ ἐκ τῆς πλάνου, ἐπηρείας τῇ σῇ ἀκλινεῖ, προμηθείᾳ πάτερ, ἀρωγὲ τάχιστε ἁπάντων τῶν προσφύγων σου, καὶ δίδαξον αὐτοὺς κραυγάζειν˙

**Ἀλληλούϊα.**

Φέρων πάνυ ἀξίως, ὁρμαθοῦ ἐναρέτου, βιώσεως τὴν κλῆσιν σῶν ἔργων, καὶ τῶν λόγων λαὸν τοῦ Θεοῦ, γλεύκει θείῳ Πάφου ἱερὲ πρόεδρε, ἐμέθυσκες καὶ ἔπιθες, βοᾶν σοι μυστικῶς τοιαῦτα˙

Χαῖρε, κειμήλιον ἀκακίας˙
χαῖρε, ἀρχέτυπον εὐλαβείας.
Χαῖρε, ὁ τὴν χάριν θαυμάτων δεξάμενος˙
χαῖρε, ὁ τὴν λάμψιν ὑψόθεν δρεψάμενος

Χαῖρε, ὄργανον γλυκύφθογγον ἀενάου προσευχῆς˙
χαῖρε, ἔκτυπον πρὸς κάμνοντας καὶ ἐν χρείαις ἀρωγῆς.
Χαῖρε, ὅτι ἀγάπης βότρυς πέπειρος ὤφθης˙
χαῖρε, ὅτι τῆς πλάνης καθαιρέτης ἐδείχθης.
Χαῖρε, λαμπρὸν τῆς Πάφου ἐντρύφημα˙
χαῖρε, σεμνῶν ποιμένων ἐκτύπωμα.
Χαῖρε, Καρπάθου ποιμένος τὸ θαῦμα˙
χαῖρε, τοῦ πλάνου ἀλάστορος τραῦμα.

**Χαίροις, μάκαρ Πανάρετε.**

Χαίρει Κυπρίων δῆμος, τῇ θερμῇ ἀρωγῇ σου, καὶ στόματι εὐσήμῳ κηρύττει, προστασίαν τὴν σὴν ἀῤῥαγῆ, θεοφόρε Πάφου ἱερὸν σέμνωμα, δι 'ἧς θαῤῥεῖ καὶ πρόσωπον, Κυρίου ἀτενίσαι κράζων˙

**Ἀλληλούϊα.**

Ψάλλων σοὶ τῷ ἐν χρόνοις, τοῖς ὑστέροις ἀνδρείως, πατήσαντι ὀφρῦν τοῦ Βελίαρ, καὶ κειμήλιον ἱεραρχῶν, ἐποφθέντι πέμπω τῷ Θεῷ αἴνεσιν, τῷ σὲ χαρίτων πλήσαντι, Πανάρετε καὶ πίστει κράζω˙

Χαῖρε, ὁ ῥίψας σαρκὸς τὸ ἄχθος˙
χαῖρε, ὁ νήψας ψυχῆς τὸ βάθος.
Χαῖρε, ὁ φυλάξας νοὸς καθαρότητα˙
χαῖρε, ὁ διδάξας λαῷ τὴν ἀπάθειαν.
Χαῖρε, φοῖνιξ ὁ ὑψίκομος φιλαδέλφου βιοτῆς˙

χαῖρε, σάλπιγξ ἀγαπήσεως καὶ παθῶν ἀποταγῆς.
Χαῖρε, ὅτι ἐδόθης ὁλικῶς τῷ Κυρίῳ·
χαῖρε, ὅτι ὑψώθης πρὸς τὴν πόλιν τὴν ἄνω.
Χαῖρε, καλὸς ποιμὴν τῶν προβάτων σου·
χαῖρε, παγὶς ζοφώδης τοῦ χείρονος.
Χαῖρε, Χριστοῦ εὐωδία ἡδίστη·
χαῖρε, κἀμοῦ προστασία ταχίστη.

**Χαίροις, μάκαρ Πανάρετε.**

***Ἅγιε Ἱεράρχα τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.***

Ὦ Πανάρετε μάκαρ, ἀρετῶν τοῦ συνόλου, ἐπώνυμε καὶ Πάφου προΐστορ· (τρὶς) μὴ ἐλλίπῃς Χριστὸν δυσωπεῖν, ἐκτενῶς διδόναι τοῖς πιστῶς μέλπουσι, τὴν σὴν ἁγίαν κοίμησιν, ὑγείαν καὶ ἀεὶ βοῶσιν.

**Ἀλληλούϊα.**

**Καὶ αὖθις, τὸ Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.**

Τῆς ἀρετῆς καὶ προοράσεως τὸ ἔσοπτρον, τὸν ἱεράρχην τὸν θεόπνουν Πάφου μέλψωμεν, στηλογράφημα ὡς ἔμπνουν τοῦ Παρακλήτου· νήσου Κύπρου τὸν φωστῆρα τὸν φανότατον, καὶ θαυμάτων κρήνην στέψωμεν ἐν ᾄσμασιν, πόθῳ κράζοντες· Χαίροις, μάκαρ Πανάρετε.

*Δίστιχον.*
*Χαῖρε, Χαραλάμπης ἐκθύμως κραυγάζει,*
*Πανάρετε, Χριστοῦ ἱεράρχα σῶφρον.*

www.tezaurliturgic.ro